# 25 OCTOMBRIE
# GHERASIM MIKRAGHIANANITUL

# PARACLISUL SF.CUVIOASE TAVITA DE LA IOPPE



## PARACLISIERUL PE OCTOMBRIE-GR


ТАВИФА
Бл҃жени
млⷭ҇тивїи,
ꙗкѡ тїи
поми-
ловани
бꙋдꙋтъ.
Icon.SV.ru

www.tezaurliturgic.ro

# ΑΚΟΛΟΥΘΙΑ
## ΤΗΣ
## ΑΓΙΑΣ ΤΑΒΙΘΑ

Μαθητρίας τοῦ Χριστοῦ τῆς Ἐλεήμονος τῆς ἀνυσάσης τὸν Βίον αὐτῆς ἐν ἐλέει Ἐν Ἰόππῃ·

Μετά τοῦ παρακλητικοῦ κανὸνος καὶ τῶν εἰκοσιτεσσάρων χαιρετιστηρίων οἴκων αὐτῆς.



Ὁ Ἀπόστολος Πέτρος ἀνιστᾶ τήν Ἁγία Ταβιθά ἐν Ἰόππη.

Χαῖρε Ταβιθὰ Ἁγία ὅτι ἀμφοτέρας τὰς χεῖρας ἐν ἐλέει ἐκτείνεις!

Ο ΕΚΔΟΤΗΣ
Ἀγαθάγγελος Βούρδουλας
Ἀρχιμανδρίτης
Ἱερὸς Ναὸς Ἡ Γέννησις τῆς Θεοτόκου
ΣΕΡΡΑΙ

Θεὸς Κύριος καὶ τὸ ἑξῆς:

Ἦχος δ! Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Ὡς συμπαθὴς καὶ ἐλεήμων καρδία, τὸν τοῦ ἐλέους χορηγὸν καὶ δοτῆρα, ὑπὲρ ἡμῶν ἀπαύστως καθικέτευε, ἐλεῆσαι ἅπαντας, δαψιλεῖ ἐν ἐλέει, τοὺς πιστῶς προστρέχοντας, Ταβιθὰ μακαρία, τῇ φιλανθρώπῳ σκέπῃ σου σεμνή, καὶ εὐπροσδέκτῳ, πρεσβείᾳ πρὸ Κύριον.

Δόξα. Τὸ αὐτὸ. Καὶ νῦν. Θεοτοκίον.

Οὐ σιωπήσομέν ποτε Θεοτόκε...

Ὁ Ν! καὶ ὁ κανὼν οὗ ἡ ἀκροστιχὶς

«Ταβιθὰ ἐν οἴκτῳ ἡμᾶς σκέπε. Γερασίμῳ

Ὠδὴ α! Ἦχος πλ. δ! Ὑγρὰν διοδεύσας.

Τὸν μόνον φιλάνθρωπον καὶ Θεὸν, Χριστὸν τὸν Σωτῆρα, καθικέτευε ἐκτενῶς, ἡμᾶς Ταβιθὰ κατοικτειρῆσαι, ὡς ἂν ῥυσθῶμεν παντοίων ἐκ θλίψεων.

Ἀγάπῃ ἐμπρέπουσα δαψιλεῖ, Ταβιθά Ἁγία, τῆς ἀγάπης πίστει θερμῇ, ἡμᾶς καταξίωσον τὰ ἔργα, καρποφορεῖν ἐν πλουσίᾳ χρηστότητι.

Βοήθειαν νέμουσα συμπαθῶς, τοῖς ἀπορουμένοις, ὡς μαθήτρια τοῦ Χριστοῦ, βοήθει τοῖς πάσχουσι ποικίλως, ὦ Ταβιθά τῇ θερμῇ ἀντιλήψει σου.

**Θεοτοκίον.**

Ἰσχύν μοι παράσχου Μῆτερ Θεοῦ, εἰς τέλος ὀλέσαι, ἐπινοίας τὰς χαλεπὰς, ἃς ὁ δολιόφρων μοι προσάγει, καταπιεῖν τὸν σὸν δοῦλον πειρώμενος.

Ὠδὴ γ! Οὐρανίας ἁψῖδος.

Θεολήπτῳ καρδίᾳ, τὸν ἀληθῆ Κύριον, ἔργοις θεραπεύουσα θείοις, αὐτὸν ἱκέτευε, δοῦναι συγχώρησιν, καὶ ἱλασμὸν σωτηρίας, Ταβιθὰ πανεύφημε, τοῖς σὲ γεραίρουσι.

Ἀπορούντων προστάτις καὶ βοηθὸς πέφηνας, τοῦ Εὐαγγελίου τὸν νόμον, πληροῦσα πάνσεμνε· ὅθεν προστάτευε, τῶν ἐν ἀνάγκαις τοῦ βίου, Ταβιθά θεόληπτε, τῇ σῇ χρηστότητι.

Ἐν Ἰόππῃ ὡράθης, ἔργων καλῶν σκήνωμα, Ταβιθά Χριστῷ προσελθοῦσα, ψυχῆς θερμότητι· ὅθεν ἐργάζεσθαι, ἡμᾶς ἐν φόβῳ Κυρίου, ἔνδοξε ἀξίωσον, τὸ θεῖον θέλημα.

**Θεοτοκίον.**

Νεκρωθεὶς τῇ κακίᾳ, ναὶ Ἁγνὴ ἄφρονι, ἔτι μολυσμοῖς πονηρίας, προσεπεκτείνομαι, ἐχθροῦ ταῖς νεύσεσι, πρὸς ἁμαρτίας τὰ βάθη· ἀλλὰ σύ με Ἄχραντε, σῶσον τὸν ἄσωτον.

Διάσωσον ὦ Ταβιθά μακαρία πάσης ἀνάγκης, τοὺς τιμῶντας τῶν ἀρετῶν σου τὰς χάριτας, ταῖς πρὸς τὸν εὔσπλαγχνον Κτίστην σου ἱκεσίαις.

Ἐπίβλεψον ἐν εὐμενείᾳ...

Αἴτησις καὶ τὸ Κάθισμα.

Ἦχος β! Πρεσβεία θερμή.

Προστάτις πτωχῶν, ἐν τῇ Ἰόππῃ γέγονας, Χριστοῦ τοῦ

www.tezaurliturgic.ro

Θεοῦ, ὡς ἐκλεκτὴ μαθήτρια, ὢ πρέσβευε δεόμεθα, πάσης βλάβης καὶ θλίψεως ρύεσθαι, σεμνὴ Ταβιθὰ διὰ παντὸς, τοὺς πίστει προστρέχοντας τῇ σκέπῃ σου.

'Ωδὴ δ! Εἰσακήκοα Κύριε.

Οἰκτιρμοὺς θείους βλύζουσα, ὥσπερ τοῦ Σωτῆρος σεμνὴ μαθήτρια, Ταβιθὰ ἡμᾶς κατάρδευσον, ρείθροις συμπαθείας ὡς φιλάγαθος.

Ἱλαρότητι τρόπων σου, ὥσπερ ἐβοήθεις πάλαι τοῖς πάσχουσιν, οὕτω θείαις μεσιτείαις σου, τοὺς κεκακωμένους νῦν ἱλάρυνον.

Κάλλος θεῖον τοῦ Κτίστου σου, ἤδη Ταβιθὰ λαμπρῶς κατοπτεύουσα, καλλοναῖς ἡμᾶς ὡραΐσον, ἀρετῶν ἁγίων ἱκεσίαις σου.

## Θεοτοκίον.

Τὸν Σωτῆρα κυήσασα, ἀπερινοήτως ἡμᾶς λυτρούμενον, τῆς ἀρχαίας παραβάσεως, σῶσόν με Παρθένε τὸν σοὶ προσφεύγοντα.

'Ωδὴ ε! Φώτισον ἡμᾶς.

Ὥσπερ ἀληθὴς, τοῦ Χριστοῦ σεμνὴ μαθήτρια, παρρησίαν κεκτημένη πρὸς αὐτὸν, καθικέτευε σωθῆναι τοὺς τιμῶντάς σε.

Ἤρδευσας σεμνὴ, εὐποιΐας σου τοῖς νάμασι, τοὺς ἐνδείᾳ τηκομένους χαλεπῇ, ἧς ἀπάλλαξον τοὺς πίστει προσιόντάς σοι.

Μόνε βασιλεῦ, Ζωοδότα Χριστὲ εὔσπλαγχνε, ἱκεσίαις τῆς ἁγίας Ταβιθὰ, καθαγίασον ἡμᾶς τοὺς σοὶ λατρεύοντας.

## Θεοτοκίον.

Ἄχραντε Ἁγνὴ, Θεοτόκε Ἀειπάρθενε, τὸν χρανθέντα με τοῖς πάθεσι δεινῶς, ἀποκάθαρον τοῖς ρείθροις τοῦ ἐλέους σου.

'Ωδὴ στ! Τὴν δέησιν ἐκχεῶ.

Συνέσει κεκοσμημένη τῇ θεία, τῆς ἀγάπης θησαυρὸς ἀνεδείχθης· ὅθεν ἐλέους πηγάζουσα ρεῖθρα, τὰς πενομένας ψυχὰς κατεδρόσισας, ταῖς εὐποιΐαις σου σεμνὴ, Ταβιθὰ γυναικῶν ἐγκαλλώπισμα.

Σὲ Πέτρος ὁ Μαθητὴς τοῦ Σωτῆρος, ὡς ἀνέστησε θανοῦσαν Ἁγία, οὕτω θανόντας ἡμᾶς ἁμαρτίαις, τῇ ζωηφόρῳ πρεσβείᾳ σου ἔγειρον, καὶ πρὸς ἐνάρετον ζωὴν, Ταβιθὰ τὰς ψυχὰς ἡμῶν ἴθυνον.

Κυρίῳ τῷ ἐκ Παρθένου τεχθέντι, ὡς λατρεύσασα ἀμέμπτῳ σου βίῳ, καὶ οἰκτιρμοῖς Ταβιθὰ καὶ ἐλέει, δεῖξαι ἡμῖν τὴν οἰκείαν χρηστότητα, πρέσβευε πάντοτε σεμνὴ, τοῖς τὸν νόμον αὐτοῦ παραβαίνουσι.

## Θεοτοκίον.

Ἐκ πλήθους ἁρμαρτιῶν μου ὁ τάλας, κατηνέχθην πειρασμῶν εἰς τὰ βάθη, καὶ χαλεπαί με συνέχουσι θλίψεις, ἀλλὰ τῇ σῇ ἀτενίζω χρηστότητι· σῶσόν με Μῆτερ τοῦ Θεοῦ, καὶ καλῶς τὴν ζωήν μου κυβέρνησον.

Διάσωσον ὦ Ταβιθὰ μακαρία πάσης ἀνάγκης, τοὺς τιμῶν-

τας τῶν ἀρετῶν σου τὰς χάριτας, ταῖς πρὸς τὸν εὔσπλαγχνον Κτίστην σου ἱκεσίαις.

Ἄχραντε ἡ διά λόγου....

Αἴτησις καὶ τὸ Κοντάκιον.

Ἦχος β! Τοῖς τῶν αἱμάτων σου.

Ἐν τῇ Ἰόππῃ Ἁγία ἐμπρέπουσα, πολλῶν πασχόντων τοὺς πόνους κατέπαυσας· καὶ νῦν σοῦ δεόμεθα κούφισον, τοὺς ἐν ὀδύναις τοῦ βίου καὶ θλίψεσι, ταῖς σαῖς πρὸς Χριστὸν παρακλήσεσι.

## Προκείμενον.

Ἀγαλλιᾶσθε δίκαιοι ἐν Κυρίῳ, τοῖς εὐθέσι πρέπει αἴνεσις.

Στίχ. Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι...

Εὐαγγέλιον ἐκ τοῦ κατά Λουκᾶν.

Εἶπεν ὁ Κύριος· Τὶς ἄρα ἐστὶν ὁ πιστὸς οἰκονόμος καὶ φρόνιμος, ὃν καταστήσει ὁ κύριος ἐπὶ τῆθ θεραπείας αὐτοῦ, διδόναι ἐν καιρῷ τὸ σιτομέτριον; Μακάριος ὁ δοῦλος ἐκεῖνος, ὃν ἐλθὼν ὁ κύριος αὐτοῦ, εὑρήσει ποιοῦντα οὕτως. Ἀληθῶς λέγω ὑμῖν, ὅτι ἐπὶ πᾶσι τοῖς ὑπάρχουσιν αὐτοῦ καταστήσει αὐτόν. Ἐάν δὲ εἴπῃ ὁ δοῦλος ἐκεῖνος ἐν τῇ καρδίᾳ αὐτοῦ· Χρονίζει ὁ κύριός μου ἔρχεσθαι· καὶ ἄρξηται τύπτειν τοὺς παῖδας καὶ τὰς παιδίσκας, ἐσθίειν τε καὶ πίνειν μεθύσκεσθαι· ἥξει ὁ κύριος τοῦ δούλου ἐκείνου ἐν ἡμέρᾳ ᾗ οὐ προσδοκᾷ, καὶ ἐν ὥρᾳ ᾗ οὐ γινώσκει· καὶ διχοτομήσει αὐτὸν, καὶ τὸ μέρος αὐτοῦ μετά τῶν ἀπίστων θήσει· Ἐκεῖνος δὲ ὁ δοῦλος, ὁ γνοὺς τό θέλημα τοῦ κυρίου αὐτοῦ, καὶ μὴ ἑτοιμάσας, μηδὲ ποιήσας πρὸς τὸ θέλημα αὐτοῦ, δαρήσεται πολλὰς. Ὁ δέ μὴ γνοὺς, ποιήσας δὲ ἄξια πληγῶν, δαρήσεται ὀλίγας· παντὶ δὲ ᾧ ἐδόθη πολύ, πολὺ ζητηθήσεται παρ' αὐτοῦ· καὶ ᾧ περέθεντο πολὺ, περισσότερον αἰτήσουσιν αὐτόν.

Δόξα. Ταῖς τῆς σῆς Ἁγίας...

Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου...

## Προσόμοιον.

Ἦχος πλ. β! Ὅλην ἀποθέμενοι.

Στίχ. Ἐλεησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου...

Οἴκτου θείου σκήνωμα, ἐν τῇ Ἰόππῃ ἐδείχθης, ὡς Χριστοῦ μαθήτρια, Ταβιθὰ πανεύφημε θείῳ ἔρωτι, καὶ χηρῶν πάνσεμνε, ἀρωγὸς ἐφάνης, καὶ πασχόντων παραμύθιον, καὶ περιβόλαιον, τῶν γυμνητευόντων φιλάγαθε· ὅθεν τῆς ὑπέρ ἔννοιαν, δόξης τοῦ Σωτῆρος ἠξίωσαι· Ὃν νῦν ἐκδυσώπει, δοθῆναι ἱλασμὸν καὶ φωτισμὸν, καὶ τῶν πταισμάτων συγχώρησιν, τοῖς σὲ μακαρίζουσι.

Σῶσον ὁ Θεὸς τὸν λαόν σου...

Ὠδή ζ! Οἱ ἐκ τῆς Ἰουδαίας.

Πενομένοις Ἁγία, φιλανθρώπως προτείνεις χεῖρα τροφεύουσαν· καὶ νῦν ἡμῖν τὸν οἶκτον, Χριστοῦ τοῦ φιλανθρώπου, καὶ

www.tezaurliturgic.ro

τὸ ἄπειρον ἔλεος, διέγειρον Ταβιθά, θερμῇ σου ἱκεσίᾳ.

Ἐντολῶν τοῦ Κυρίου, διανύειν ἀμέμπτως τρίβον τὴν κρείττονα, ἐνίσχυσον Ἁγία, ἐν πίστει καὶ ἀγάπῃ, Ταβιθὰ τοὺς κραυγάζοντας· ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Γνώμην ἔχουσα θείαν, ἐν πλουσίῳ ἐλέει Θεὸν ἐδόξασας· ᾧ πρέσβευε Ἁγία, παθῶν ἐξ ἀδοξίας, λυτρωθῆναι τοὺς ψάλλοντας· ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

**Θεοτοκίον.**

Ἐξ ἁγνῶν σου αἱμάτων, μετὰ σώματος Κόρη ὑπὲρ κατάληψιν, ἀνέτειλε τῷ κόσμῳ, ὁ Ἥλιος τῆς δόξης· οὗ τῇ αἴγλῃ καταύγασον, τὸν σκοτισθέντα μου νοῦν, καὶ σῶσόν με Παρθένε.

Ὠδὴ η! Τὸν Βασιλέα.

Ῥοαῖς ἀΰλοις, τῆς θεϊκῆς εὐσπλαγχνίας, ἀποκάθαρον ἡμῶν τὰς διανοίας, Ταβιθὰ Ἁγία, παθῶν ἐξ ἁμαρτίας.

Ἄμεμπτον βίον, ὡς διελθοῦσα Ἁγία, καταξίωσον ἀμέμπτῳ πολιτείᾳ, ἡμᾶς τῷ Σωτῆρι, δουλεύειν θεοφρόνως.

Στήλη ὡς ἔμπνους, τῶν ἀρετῶν θεοφόρε, ἡμᾶς ἴθυνον πρὸς ἐναρέτου βίου, θείας ἀναβάσεις, ταῖς σαῖς ἱκετηρίαις.

**Θεοτοκίον.**

Ἴασαι Κόρη, τὴν ἀσθενοῦσαν ψυχήν μου, καὶ θεράπευσον τοῦ σώματος τὸ ἄλγος, ἵνα σε δοξάζω, Ὑπερδεδοξασμένη.

Ὠδὴ θ! Κυρίως Θεοτόκον.

Μονὰς τὰς οὐρανίους, ἤδη κατοικοῦσα, ὑπὲρ ἡμῶν Ταβιθὰ καθικέτευε, ἵνα τῆς δόξης τῆς κρείττονος ἐπιτύχωμεν.

Ὀδύνης με ἁπάσης, λύτρωσαι Ἁγία, καὶ συνοχῆς χαλεπῶν περιστάσεων, ὦ Ταβιθὰ τοῦ Σωτῆρος σεμνὴ μαθήτρια.

Ὑπέρτερον τὸν νοῦν μου, Ταβιθὰ τῆς ὕλης, τῆς ἐν τῷ κόσμῳ ἀνάδειξον δέομαι, καὶ τὴν καρδίαν μου πλῆσον ἁγίου ἔρωτος.

**Θεοτοκίον.**

Ὑψίστου χαῖρε θρόνε, Κεχαριτωμένη, ἡ σωτηρία ἁπάντων καὶ στήριγμα τῶν ἀληθεῖ Θεοτόκον ὁμολογούντων σε.

**Τὸ Ἄξιόν ἐστι καὶ τὰ μεγαλυνάρια.**

Χαίροις ἡ μαθήτρια τοῦ Χριστοῦ, Ταβιθὰ θεόφρον, θείων ἔργων ὑπογραμμός· χαίροις ἡ συνοῦσα, Ἀγγέλοις ἐν ὑψίστοις, καὶ πᾶσιν αἰτουμένη, τὸ θεῖον ἔλεος.

Τοῦ Εὐαγγελίου τὸν φωτισμόν, ἔνδον ὁλοψύχως, δεξαμένη πίστει θερμῇ, ὤφθης ἐν Ἰόππῃ, ταμεῖον συμπαθείας, καὶ πλοῦτος εὐσπλαγχνίας, ψυχῆς θερμότητι.

Χαίροις εὐποιΐας ὁ θησαυρός, ἐλεημοσύνης, ὁ πολύρρυτος ποταμός, Ταβιθὰ Ἁγία, ἀπόρων θεία σκέπη, καὶ τῶν χηρῶν προστάτις, ἀξιοθαύμαστε.

Θανοῦσάν σε ἤγειρε θαυμαστῶς, ὁ πρόκριτος Πέτρος, ὡς προστάτιδα τῶν πτωχῶν· ἔνθεν τὸν Σωτῆρα, πλειόνως μεγαλύνεις, ὦ Ταβιθὰ θεόφρον, ἔργοις τῆς πίστεως.

Ἄνωθεν ἐπίβλεψον συμπαθῶς, Ταβιθὰ Ἁγία, τοὺς ἐστῶ-

τας πανευλαβῶς, πρὸ τῆς σῆς εἰκόνος, καὶ τούτοις ἀεὶ δίδου, τοῦ θεϊκοῦ ἐλέους, τὰ θεῖα δόματα.

Δέχου τὰς δεήσεις ἃς ἐκ ψυχῆς, Ταβιθὰ Ἁγία, σοὶ προσάγομεν οἱ πιστοί, καὶ Χριστὸν δυσώπει, δοῦναι τοῖς σοῖς ἱκέταις, τῶν οἰκτιρμῶν τῶν θείων, χάριν τὴν ἄφθονον.

Πᾶσαι τῶν Ἀγγέλων....

Τὸ τρισάγιον, τὰ συνήθη τροπάρια, ἐκτενὴς καὶ ἀπόλυσις, μεθ' ἣν τὸ ἑξῆς:

## Ἦχος β! Ὅτε ἐκ τοῦ ξύλου.

Σκεῦος εὐσπλαγχνίας θεϊκῆς, ὤφθης Ταβιθὰ μακαρία, Χριστοῦ μαθήτρια, πάντας θεραπεύουσα, ἐξ ὑπαρχόντων τῶν σῶν, καὶ πλουσίᾳ χρηστότητι, παρέχουσα πᾶσι, τοῖς ποικίλως πάσχουσι, χεῖρα σωτήριον· ὅθεν σοῦ δεόμεθα πάντες, πρέσβευε Χριστῷ ἐλεῆσαι, καὶ κατοικτειρῆσαι τὰς ψυχὰς ἡμῶν.

Δέσποινα πρόσδεξαι...

Τὴν πᾶσαν ἐλπίδα μου...

**Ταβιθὰ Θείου με ἀξίωσον οἴκτου Γερασίμῳ**
**σπεύδοντι τοίς Οἰκτειρμοῖς σου**

## Οἶκοι εἰκοσιτέσσαρες εἰς τὴν Ἁγίαν Ταβιθὰ τὴν Ἐλεήμονα.

**Κοντάκιον. Ἦχος πλ. δ! Τῇ ὑπερμάχῳ**

Ὡς τοῦ Σωτῆρος οὐρανόφρονα μαθήτριαν
Καὶ εὐσπλαγχνίας θεϊκῆς εἰκόνα ἔμψυχον
Ταβιθὰ σε ἀνυμνοῦμεν ᾀσμάτων ὕμνοις.
Ἀλλ' ὡς μύστις τῆς ἐνθέου ἀγαθότητος
Ἐξιλέωσαι ἡμῖν τὸν μόνον Εὔσπλαγχνον
Τοῖς βοῶσί σοι, χαῖρε σκεῦος τῆς χάριτος.

Ἄγγελος θυμηδίας, ἀνεδείχθης Ἁγία, τοῖς πάσχουσι ποικίλως ἐν κόσμῳ· (ἐκ γ!) διὸ ἀγγελικαῖς σε τιμαῖς, Ταβιθὰ Χριστὸς ἀξίως ἐτίμησεν· Ὃν ἵλεων ἀπέργασαι, τοῖς ἐκβοῶσοί σοι τοιαῦτα·

Χαῖρε, δι' ἧς οἱ πτωχοὶ σκιρτῶσι·
Χαῖρε, δι' ἧς δυσμενεῖς σιγῶσι.
Χαῖρε, τῆς ἀγάπης τῆς θείας θησαύρισμα·
Χαῖρε, τῆς σοφίας τῆς ἄνω κατάλυμα.
Χαῖρε, ὕψος τῆς ἐκ πράξεων ἱερῶν περιωπῆς·
Χαῖρε, βάθος τῆς φρονήσεως δι' ἐνθέου ἀρετῆς.
χαῖρε, ὅτι Κυρίου ὑπεδέξω τὴν χάριν·
Χαῖρε, ὅτι ἐμφρόνως ἀπεσείσω τὴν πλάνην.
Χαῖρε, εἰκὼν πλουσίας χρηστότητος·
Χαῖρε, λαμπὰς φωτὸς τῆς Θεότητος.
Χαῖρε, κλεινοῖς Ἀποστόλοις συνοῦσα·
Χαῖρε, χαρᾶς ἀληθοῦς μετασχοῦσα.
**Χαῖρε, σκεῦος τῆς χάριτος.**